οἷς ἐπιγέγραπται τὰ χρώματα τῶν δικαστηρίων, καὶ ἕτεροι
κύβοι ἐν οἷς ἐστιν τῶν ἀρχῶν τὰ ὀνόματα ἐπιγεγραμμένα.
λαχόντες δὲ τῶν θεσμοθετῶν δύο χωρὶς ἑκατέρων τοὺς
κύβους ἐμβάλλουσιν, ὁ μὲν τὰ χρώματα εἰς τὸ ἓν κληρω-
τήριον, ὁ δὲ τῶν ἀρχῶν τὰ ὀνόματα εἰς τὸ ἕτερον· ἣ δ' ἂν
πρώτη λάχῃ τῶν ἀρχῶν, αὕτη ἀναγορεύεται ὑπὸ τοῦ κήρυκος
ὅτι χρήσεται τῷ πρώτῳ λαχόντι δικα[στηρίῳ, ἡ δὲ δευτέ]ρ[α
τῷ] δευτέρῳ καὶ ὡ[σαύτως τοῖς ἄλλοις, ἵ]να [μηδ]εμία προειδ[ῇ
τίνι αὐτῶν χρήσεται], ἀλλ' [οἷο]ν ἂν λάχῃ ἑκάσ[τη, τούτῳ
χρήσηται. ἐπε]ιδὰ[ν δ' ἔλ]θωσιν καὶ ν[ενεμημένοι ἐφ' 2
ἕκαστον ὦ]σιν [οἱ δικα]σταί, ἡ ἀρχὴ ἡ [ἐφεστηκυῖα ἐν τ]ῷ
δικαστηρίῳ ἑκάστῳ [ἕλκει ἐξ ἑκάστου τοῦ] κιβωτίου πινάκιον
[ἕν, ἵνα γένωνται δέκα], εἷς ἐξ ἑκάστης τῆς φυ[λῆς, καὶ
ταῦτα τὰ πινάκ]ια [εἰς] ἕτερον κενὸν κ[ιβώτιον ἐμβάλλει,
καὶ] τού[των ε̄] τοὺς πρώτους λα[χόντας κληροῖ, ᾱ μὲν] ἐπὶ
τὸ ὕδωρ, τέτταρας δὲ [ἄλλους ἐπὶ τὰς ψή]φους, [ἵνα] μηδεὶς
παρασκε[υάζῃ]ι [μήτε] τὸν ἐπὶ τὸ ὕδωρ μήτε τοὺς ἐπὶ τὰς
ψήφους, μηδὲ γίγνηται περὶ ταῦτα κακούργημα μηδέν. οἱ 3
δὲ ἀπολαχόντες πέντε παρὰ τούτων ἀπολαμβάνουσ[ι τὸ π]ρό-
γ[ραμμ]α καθότι τὸν μισθὸν λ[ήψο]ντ[αι], καὶ ὅπου ἕκασται
αἱ φυλαὶ ἐν α[ὐτῷ] τῷ δικαστηρίῳ, ἐπειδὰν δικάσωσι[ν, ὅπως]
διαστάντες ἕκαστοι κατ' ὀλίγους [λάβ]ωσι, καὶ μὴ πολλοὶ
εἰς ταὐτὸ συγκλε[ισθέντες ἀλ]λήλοις ἐνοχλῶσιν.

Ταῦτα δὲ ποιήσαντες εἰσκαλοῦσι τοὺς ἀγῶνας, ὅταν μὲν 67
τὰ ἴδια δικάζωσι, τοὺς ἰδίους, τῷ ἀριθμῷ δ̄ [ἐ]ξ ἑκάστων
τῶν δικῶν τῶν ἐκ τοῦ νόμου, καὶ δ[ιο]μνύ[ουσι]ν οἱ ἀντίδικοι